κίνει καρπαλίμως, τέρσαινε δ' ἀμ' ἕλκεα λυγρὰ
ἀΐσσων πυρόεις καὶ ὑπέρβιος, ὦκα δὲ λῦεν
οἴδεά θ' αἱματόεντα, μελάντατα, κάρτ' ἀλεγεινά,
σκίδνατ' αἰὲν ἅπαντα παρῆμαρ θαῦμα ἰδέσθαι.

ΙΑ. Τῶν ἄρα κιδναμένων τερσαινομένων τε μάλ' ὦκα,
οὔ μοι λευγαλέης νούσοιό τις ἔσκεν ἐρωή·
οὐ γὰρ ἡ αὐτομάτους ἐμέτους χολόεντας ὕπερθεν
ῥῆξεν ἐς ἑβδομάτην, οὐ λύματα τοῖ' ὑπένερθεν,
αἰεί δ' ὀξυτέρη μοι ἐπέσσυτο κῆρα τ' ἀπείλει·
δὴ γὰρ ἡ ὑπναλέον κατὰ νῶκαρ χεῦ' ἐναταίη,
ὄμμασί μευ δ' ἀχλὺν οἷα σκοτόεσσαν ὁμίχλην,
νήγρετα κακκείμην δὲ βαθεῖ δεδμημένος ὕπνῳ·
σῆμ' ὃ κάκηθες ἄγαν νούσῳ τοίῃ, ἔξοχα δ' αἰνὸν (ω)
ἀνδράσι τειρομένοις νούσῳ καὶ γήραϊ λυγρῷ·
χυμῶν πυθομένων γὰρ ἀριφραδὲς ἔπλετο τέκμωρ
πᾶσιν ὁμῶς ὀλόεν, γηραιοῖς ῥεῖα δὲ λυγρὸν
οἷσιν ἀκιδνότεροι κινηθμοὶ, βράσσονες αἰέν·
ἔνθεν μυδαλέοι, γλοιώδεες, ἰξιόεντες
χυμοὶ τοῖσιν ἔασ', ἐξ ὧν ῥέα φλεγμοναὶ αἰναί.
τοὔνεκα πυθεδόνι κρατερῶς δάμναντ' ὀλοῇ τε,
ῥηΐτεροι πότμῳ τε γεραίτεροι ἐμπελάωσι,
τοιαῖς δ' εὖτε νόσοις τείρονται οἱ ἀργαλέῃσιν.

Ὡς

---

(ω) προῤῥητ. ι. κωακ. προγνωστ. Δ. α.